**0345-0407 - Iohannes Chrysostomus - In parabolam Samaritani**

**This text belongs to the Thesaurus Linguae Graecae (TLG®), a Research Center at the University of California, Irvine, which digitized it and owns the relevant ©Copyright. On May 15, 2008, Prof. M. Pantelia, the Director of the Center, has expressly authorized www.documentacatholicaomnia.eu to post it into our site. Cooperatorum Veritatis Societas thanks the prof. Pantelia, the Center, and the University of California, Irvine, of having granted the opportunity to make publicly available this text of high quality, serial number '2062 328 '.**

Charset and format of the text have been changed in order to make it possible the computation of analytic indexes and concordances. Analytical indexes and concordances have been made by the Cooperatorum Veritatis Societas.

[00001] In parabolam Σamaritaniὰ

[00002] Εἰς τὴν παραβολὴν τοῦ ἐμπεσόντος εἰς τοὺς λῃστάς.

62.755

[00003] Ἠκούσαμεν, ἀδελφοὶ, ἐν τῷ Εὐαγγελίῳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ λέγοντος, ὅτι Ἄνθρωπός τις κατέβαινεν ἀπὸ Ἱερουσαλὴμ εἰς Ἱεριχὼ, καὶ λῃσταῖς περιέπεσεν·

[00004] οἳ καὶ ἐκδύσαντες αὐτὸν, καὶ πληγὰς ἐπιθέντες κατέλιπον ἡμιθανῆ τυγχάνοντα.

[00005] Ἱερεὺς δὲ καὶ Λευΐτης διερχόμενοι διὰ τῆς ὁδοῦ ἐκείνης, καὶ ἰδόντες αὐτὸν, ἀντιπαρῆλθον.

[00006] Σαμαρείτης δέ τις ἐλθὼν ἐπὶ τὸν τόπον, καὶ ἰδὼν αὐτὸν, ἐσπλαγχνίσθη ἐπ' αὐτὸν, καὶ σὺν ἐλαίῳ οἶνον βαλὼν καὶ ἀναμίξας ἐπέχεεν αὐτῷ, καὶ κατέδησε τὰ τραύματα αὐτοῦ, καὶ ἀναλαβὼν αὐτὸν ἐπὶ τὸ ἴδιον κτῆνος, ἤγαγεν εἰς πανδοχεῖον, καὶ ἔδωκε τῷ πανδοχεῖ δύο δηνάρια, εἰπών·

[00007] Ἐπιμελήθητι τοῦ ἀνθρώπου τούτου, καὶ εἴ τι προσδαπανήσῃς, ἐγὼ ἐν τῷ ἐπανέρχεσθαί με ἀποδώσω σοι.

[00008] Ἴδωμεν οὖν τὴν τούτων παραβολὴν, ἵνα συνιέντες καρδίᾳ συνετῇ, γνωρίσωμεν τοῦ Θεοῦ τὰ μυστήρια.

[00009] Ἄνθρωπός ἐστιν ὁ Ἀδὰμ, Ἱερουσαλὴμ δὲ ἡ ἐπουράνιος πολιτεία καὶ ἡ φρόνησις, Ἱεριχὼ δὲ ὁ κόσμος.

[00010] Ἐφ' ὅσον τοίνυν ὁ Ἀδὰμ πρὸ τῆς παρακοῆς εἶχε τὸ ἐπουράνιον φρόνημα, καὶ τὴν ἰσάγγελον πολιτείαν, ἀκώλυτον εἶχε τὴν εἴσοδον ἐν τῇ ἐπουρανίῳ πόλει Ἱερουσαλὴμ, καὶ τὴν κατοικίαν καὶ διατριβὴν ἐν ταῖς ἐντολαῖς τοῦ Θεοῦ ποιούμενος, ὑπ' οὐδενὸς ἐνικᾶτο, οὐδὲ ἐτραυματίζετο·

[00011] ὅτε δὲ παρήκουσε τοῦ Θεοῦ, καὶ τὴν ἐντολὴν οὐκ ἐφύλαξεν, ἀλλ' ἀπηνέχθη τῇ ἀπάτῃ τοῦ ὄφεως, τότε κατέβη εἰς Ἱεριχὼ, τουτέστιν, εἰς τὴν γῆν, καὶ τὰ τῆς γῆς εἰργάζετο·

[00012] Ἱερουσαλὴμ γὰρ ἀνάβασις ἑρμηνεύεται, Ἱεριχὼ δὲ κατακλυσμός.

[00013] Κατέβη οὖν ὡς ἀπὸ Ἱερουσαλὴμ εἰς Ἱεριχὼ, οὕτως ἀπὸ τοῦ ἐπουρανίου πολιτεύματος, ἐπὶ τὸ τῆς ἀπάτης τοῦ διαβόλου πολίτευμα.

[00014] Ὅτε γάρ τις φυλάσσει τὰς ἐντολὰς τοῦ Θεοῦ, τότε ἐν οὐρανοῖς πολιτεύεται, καθά φησιν ὁ Ἀπόστολος, Ἡμῶν δὲ τὸ πολίτευμα ἐν οὐρανοῖς ὑπάρχει.

[00015] Κατέβη ἀπὸ δόξης εἰς ἀδοξίαν, ἀπὸ παραδείσου τρυφῆς εἰς ἀκανθηφόρον γῆν, ἀπὸ ζωῆς εἰς θάνατον·

[00016] Ἐν ᾧ γὰρ, φησὶ, φάγεσθε ἐκ τοῦ ξύλου, θανάτῳ ἀποθανεῖσθε·

[00017] τουτέστι, τῇ ἁμαρτίᾳ·

[00018] θάνατος γὰρ ψυχῆς ἁμαρτία τὸ παρακοῦσαι Θεῷ.

[00019] Κατέβη ἀπὸ δικαιοσύνης τῆς ἐν τῷ παραδείσῳ, ἀπὸ ἁγιωσύνης τῆς ἐν οὐρανοῖς, καὶ ἦλθεν εἰς Ἱεριχὼ, τουτέστιν, εἰς τὸ πτῶμα τῆς παρακοῆς, εἰς τὸν θάνατον τῆς ἁμαρτίας.

[00020] Καὶ ἐμπίπτει εἰς τοὺς λῃστὰς, τουτέστιν, εἰς τὸν διάβολον καὶ τὰς ἀντικειμένας αὐτῷ δυνάμεις.

[00021] Ὁδὸς δέ ἐστιν ὁ βίος οὗτος, ὅπου περιπατήσας ὁ Ἀδὰμ ἔπεσεν εἰς τοὺς λῃστὰς, καὶ ἐκδιδύσκουσιν αὐτόν.

[00022] Καὶ τί αὐτὸν ἐξέδυσαν;

[00023] Τὴν στολὴν τῆς ὑπακοῆς, τὴν μετ' ἀγγέλων φιλίαν, τὴν ἀκήρατον δόξαν, τὴν μετὰ Χριστοῦ διατριβὴν, τὴν ἐν παραδείσῳ τρυφὴν, τὴν ἐπουράνιον ζωήν.

[00024] Ταύτην αὐτὸν ἐξέδυσαν τὴν στολήν.

[00025] Καὶ πληγὰς αὐτῷ ἐπέθηκαν, τουτέστι, τὰς ἁμαρτίας, πορνείας, μοιχείας, εἰδωλολατρείας, φαρμακείας, φόνους, φθόνους, ἔρεις, θυμὸν, καὶ πᾶσαν τὴν λοιπὴν τῶν κακῶν ἐργασίαν.

[00026] Ταῦτα γὰρ τὰ ἔργα μαστιγοῦσι τὸν ἄνθρωπον, ταῦτα δυσωδίαν καὶ φθορὰν ἐμποιοῦσι.

[00027] Καὶ ὅτι ἔστι τοῦτο ἀκριβῶς, μάθε παρὰ τοῦ Δαυῒδ, πῶς τὰς τοῦ Ἀδὰμ [62.756] πληγὰς εἰς ἑαυτὸν εἰκονογραφῶν, μώλωπας αὐτὰς καλῶς λέγων·

[00028] Προσώζεσαν καὶ ἐσάπησαν οἱ μώλωπές μου ἀπὸ προσώπου τῆς ἀφροσύνης μου.

[00029] Πᾶσα δὲ ἁμαρτία μώλωπα καὶ τραῦμα ἐργάζεται.

[00030] Ἐτραυματίσθη τοίνυν διὰ τῆς παρακοῆς, ἐπλήγη διὰ τῶν ἀνομιῶν, ὥς φησιν ὁ προφήτης·

[00031] Ἐπλήγην ὡσεὶ χόρτος, καὶ ἐξηράνθη ἡ καρδία μου, ὅτι ἐπελαθόμην τοῦ φαγεῖν τὸν ἄρτον μου·

[00032] τουτέστι, τοῦ φυλάξαι τὴν ἐντολὴν τοῦ Θεοῦ.

[00033] Ἡμιθανῆ δὲ, φησὶ, τοῦτον κατέλιπον, οὐχ ὡς μὴ βουλόμενοι τοῦτον ἀναιρεῖν, ἀλλ' ὡς τοῦ Θεοῦ μὴ συγχωροῦντος.

[00034] Οὐ βούλομαι γὰρ, φησὶ, τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ὡς τὴν μετάνοιαν.

[00035] Καὶ ποῦ αὐτὸν καταλείπουσιν;

[00036] Εἰς τὴν ὁδὸν, τουτέστιν, εἰς τὸν βίον τοῦτον·

[00037] ὁδὸς γὰρ λέγεται ὁ αἰὼν οὗτος, ἐπειδὴ πάντες ἄνθρωποι δι' αὐτοῦ διέρχονται.

[00038] Καταλαβὼν δὲ, φησὶν ὁ ἱερεὺς ἐν τῇ ὁδῷ, καὶ ἰδὼν αὐτὸν, ἀντιπαρῆλθεν.

[00039] Ἱερέα δὲ λέγει τὸν μακάριον Μωϋσῆν καὶ Ἀαρών.

[00040] Μαρτυρεῖ γὰρ ὁ Δαυῒδ λέγων, Μωϋσῆς καὶ Ἀαρὼν ἐν τοῖς ἱερεῦσιν αὐτοῦ, καὶ Σαμουὴλ ἐν τοῖς ἐπικαλουμένοις τὸ ὄνομα αὐτοῦ.

[00041] Οὗτος οὖν ὁ θαυμαστὸς Μωϋσῆς ἔνδοξος γενόμενος, ὁ δεκαπλήγῳ μάστιγι τοὺς Αἰγυπτίους ἐτάσας, ὁ τὴν Ἐρυθρὰν θάλασσαν σχίσας καὶ ἀποξηράνας καὶ διαγαγὼν τὸν λαὸν δι' αὐτῆς, ὁ τὸ ἐν Μαῤῥᾷ ὕδωρ γλυκάνας, ὁ τῷ Θεῷ διὰ νέφους προσομιλήσας, ὁ πολλὰ θαύματα ἐργασάμενος, ὁδεύων τὴν ὁδὸν τοῦ βίου τούτου, καὶ ἰδὼν τὸν ἄνθρωπον κείμενον τετραυματισμένον, παρῆλθεν αὐτὸν, καὶ οὐκ ἀνέστησεν.

[00042] Ὁμοίως δὲ καὶ Λευΐτης, τουτέστι, τὸ προφητικὸν τάγμα.

[00043] Καὶ γὰρ ἐκεῖνοι ὕστερον μετὰ τὸν Μωϋσῆν γενόμενοι, καὶ τὴν αὐτὴν ὁδὸν τοῦ βίου βαδίσαντες, εὑρόντες τετραυματισμένον ἄνθρωπον τὸν Ἀδὰμ, οὐκ ἀνέστησαν.

[00044] Οὔτε Μωϋσῆς διὰ νόμου, οὔτε προφῆται διὰ σημείων τὸ τοῦ Ἀδὰμ τραῦμα ἐθεράπευσαν.

[00045] Οὐδεὶς αὐτὸν ἤγειρεν, οὐδεὶς αὐτῷ ζωὴν ἐχαρίσατο, οὐδεὶς αὐτὸν ἐκ θανάτου ἐλυτρώσατο, οὐδεὶς ἔστειλε τῆς ἁμαρτίας τὸ τραῦμα·

[00046] καὶ γὰρ αὐτοὶ ἐν ἁμαρτίαις κατείχοντο.

[00047] Εἰ καὶ διὰ σεμνὴν πολιτείαν Θεοῦ φίλοι ἐγένοντο, ἀλλὰ διὰ τὸ ὁμοσάρκους εἶναι τῷ Ἀδὰμ, καὶ ἀπὸ τῆς ῥίζης τῆς νεκρᾶς φέρεσθαι, οὐκ ἠδύναντο κλάδοι ὄντες τὴν ῥίζαν ἀνασπάσαι ἀπὸ τῆς ἁμαρτίας.

[00048] Σαμαρείτης δέ τις, φησὶ, σπουδαῖος τοῖς ἔργοις, εὔσπλαγχνος τὴν προαίρεσιν, συμπαθὴς περὶ τοὺς ὁμοδούλους, ἐλθὼν ἐπὶ τὸν τόπον, καὶ ἰδὼν αὐτὸν τετραυματισμένον, ἐσπλαγχνίσθη, καὶ ἐπέθηκεν ἔλαιον καὶ οἶνον, καὶ κατέδησε τὰ τραύματα αὐτοῦ, τουτέστι, τούτου τὰς ἁμαρτίας.

[00049] Πρόσωπον καὶ εἰκόνα ἀναλαμβάνει ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς Σαμαρείτου.

[00050] Ἀλλ' ἐρεῖ τις τῶν ἀκροατῶν, τί;

[00051] τὸν Κύριον Σαμαρείτην λέγεις;

[00052] Ναὶ, Σαμαρείτην λέγω αὐτὸν, οὐ τῇ φύσει τῆς θεότητος, ἀλλὰ τῇ μιμήσει τῆς εὐσπλαγχνίας.

[00053] Ὥσπερ γὰρ ὁ Σαμαρείτης τῇ μὲν φύσει τοῦ σώματος ὅμοιος τοῖς ἄλλοις ὑπῆρχε, τῇ δὲ προαιρέσει τῆς εὐσπλαγχνίας οὐχ ὅμοιος, ἀλλὰ κρείττων ἐφάνη·

[00054] οὕτω καὶ ὁ Κύριος ἄνθρωπος μὲν τῇ θεωρίᾳ τοῦ σώματος ἐφάνη ὅμοιος προφήταις, πατριάρχαις κατὰ τὸν ἐκ [62.757] Μαρίας ἄνθρωπον, τῇ δυνάμει δὲ τῆς θεότητος μείζων πάντων ἀνεδείχθη·

[00055] ἴσος τῷ ἀνθρωπίνῳ σχήματι.

[00056] οὐκ ἴσος τῇ ὑπερκοσμίῳ δόξῃ.

[00057] Ἐκεῖνοι ἀμελείᾳ καὶ ἀσπλαγχνίᾳ χρησάμενοι, ἀνηλεῶς παρῆλθον τὸν τετραυματισμένον·

[00058] ὁ δὲ Σαμαρείτης εὐσπλαγχνότερος καὶ εὐσεβέστερος καὶ ἐλεήμων ἐφάνη.

[00059] Οὕτω καὶ ὁ Χριστὸς, πατριαρχῶν καὶ προφητῶν ὑπεριδόντων τὸν διὰ παρακοῆς ἐκπεσόντα ἄνθρωπον, μόνος οἰκτίρμων καὶ ἐλεήμων ἐφάνη, κατὰ τὸν προφήτην τὸν λέγοντα·

[00060] Οἰκτίρμων καὶ ἐλεήμων ὁ Κύριος, μακρόθυμος καὶ πολυέλεος·

[00061] καὶ πάλιν, Ὅτι σὺ, Κύριε, εὔσπλαγχνος.

[00062] Καὶ ὥσπερ ὁ Σαμαρείτης οὐκ ἦν τοῦ ἔθνους τῶν Ἰουδαίων, ἀλλ' ἐξ ἄλλης χώρας ὡρμᾶτο, οὕτω καὶ ὁ Χριστὸς οὐκ ἦν ἀπὸ κόσμου, ἀλλ' ἐξ οὐρανοῦ.

[00063] Ἦλθεν ἐπὶ τῆς γῆς·

[00064] Θεὸς ὢν, ἄνθρωπος γέγονε δι' ἡμᾶς·

[00065] Δεσπότης ὢν, τὴν τοῦ δούλου μορφὴν ἐνεδύσατο.

[00066] Ἐσπλαγχνίσθη περὶ ἡμῶν, κατῆλθεν ἐξ οὐρανοῦ ἐπὶ τῆς γῆς, εἶδε τὸν ἄνθρωπον ἐῤῥιμμένον, ἐσκυλμένον, τετραυματισμένον ἐν πορνείαις, εἰδωλολατρείαις, μοιχείαις, φόνοις·

[00067] εἶδε, καὶ ἐσπλαγχνίσθη ἐπὶ τὸ ἴδιον πλάσμα, καὶ ἐπέβαλεν οἶνον σὺν ἐλαίῳ·

[00068] τουτέστι, καὶ μίξας ἀμφότερα ἐποίησε βροχὴν, καὶ ἐπέθηκε τῷ ἀνθρώπῳ.

[00069] Τί ἐστι, μίξας οἶνον σὺν ἐλαίῳ;

[00070] Τουτέστι, μίξας τὴν θεότητα μετὰ τῆς ἀνθρωπότητος, μίξας τὴν εὐσπλαγχνίαν μετὰ τῆς σωτηρίας, ἔσωσε τὸν ἄνθρωπον.

[00071] Μίξας οἶνον σὺν ἐλαίῳ, τουτέστι, μίξας Πνεῦμα ἅγιον τῷ αἵματι αὐτοῦ, ἐζωοποίησε τὸν ἄνθρωπον.

[00072] Τοῦ γὰρ αἵματος τοῦ Κυρίου στάξαντος ἀπὸ τῆς πλευρᾶς ἐπὶ τὴν γῆν, ἀπέπλυνεν ἡμῶν τὸ χειρόγραφον ἀπὸ τῶν ἁμαρτιῶν.

[00073] Τί δέ ἐστι, Κατέδησε τὰ τραύματα αὐτοῦ;

[00074] Τουτέστιν, ἔδησε τὸν διάβολον, καὶ ἔλυσε τὸν ἄνθρωπον·

[00075] ἔδησε τὸ σκάφος, καὶ ἐζωοποίησε τὸ ναυαγῆσαν πλοῖον·

[00076] κατέδησε καὶ ἐδούλωσε τὰς δυνάμεις τοῦ πονηροῦ, καὶ ἠλευθέρωσε τὸν ἄνθρωπον.

[00077] Εἰ δὲ θέλεις καὶ ἑτέρως νοεῖν, ἄκουε.

[00078] Μίξας οἶνον σὺν ἐλαίῳ·

[00079] ἔλαιον ἐπάγει τὸν παρακλητικὸν λόγον, οἶνον δὲ τὸν στυπτικὸν καταδευόμενος, τὴν διδασκαλίαν τὴν συνάγουσαν τὴν διεσκορπισμένην διάνοιαν, κατὰ τὸ εἰρημένον ὑπὸ τοῦ Ἀποστόλου·

[00080] Ἔλεγξον, ἐπιτίμησον, παρακάλεσον.

[00081] Ἔθηκε δὲ αὐτὸν ἐπὶ τὸ ἴδιον κτῆνος·

[00082] τουτέστι, λαβὼν ὁ Χριστὸς τὴν σάρκα ἐπὶ τοὺς ἰδίους ὤμους τῆς θεότητος, ἀνήνεγκε τῷ Πατρὶ εἰς οὐρανούς.

[00083] Οὐ γὰρ χρυσὸν, ἢ ἄργυρον, ἢ λίθους τιμίους ἀνήνεγκεν, ἀλλὰ τὸν κατ' εἰκόνα ἄνθρωπον ἀνήνεγκεν ἀπὸ γῆς εἰς οὐρανοὺς, εἰς τὸ μέγα καὶ θαυμαστὸν καὶ εὐρύχωρον πανδοχεῖον, εἰς ταύτην τὴν καθολικὴν Ἐκκλησίαν.

[00084] Καὶ παρέδωκε τῷ πανδοχεῖ, τῷ μακαρίῳ Παύλῳ, τῷ στύλῳ τῶν Χριστιανῶν, τῷ γνησίῳ πανδοχεῖ, δοὺς αὐτῷ δύο δηνάρια·

[00085] διὰ δὲ Παύλου τοῖς καθ' ἑκάστην Ἐκκλησίαν ἀρχιερεῦσι καὶ διδασκάλοις καὶ λειτουργοῖς·

[00086] δύο δηνάρια, Παλαιάν τε καὶ Καινὴν Διαθήκην, εἰπών·

[00087] Ἐπιμελήθητι τοῦ ἀνθρώπου τούτου, καὶ εἴ τι δ' ἂν προσδαπανήσῃς, ἐγὼ ἐλθὼν ἀποδώσω σοι.

[00088] Ὃ δὲ λέγει, τοῦτό ἐστιν·

[00089] Ἐπιμέλησαι, φησὶ, τοῦ λαοῦ [62.758] τοῦ ἐξ ἐθνῶν, ὅν σοι παρέδωκα ἐν τῇ Ἐκκλησίᾳ.

[00090] Ἐπειδὴ ἀσθενοῦσιν οἱ ἄνθρωποι τετραυματισμένοι ὑπὸ τῶν ἁμαρτιῶν, θεράπευσον αὐτοὺς, ἐπιτιθεὶς αὐτοῖς λίθον ἐμπλάστρου, τὰ προφητικὰ ῥήματα καὶ τὰ εὐαγγελικὰ διδάγματα, ὑγιαίνων αὐτοὺς διὰ τῶν τῆς Παλαιᾶς καὶ Νέας Διαθήκης νουθεσιῶν καὶ παρακλήσεων, πείθων αὐτοὺς ἀποστῆναι τῆς ἁμαρτίας, καὶ καταλεῖψαι τὴν τοῦ διαβόλου πλάνην.

[00091] Ἐὰν δὲ καὶ οὕτως ἀδιόρθωτοι μείνωσι, πεῖσον αὐτοὺς ἀπὸ τῶν σῶν κατορθωμάτων, κάμψον αὐτοὺς διὰ τῶν αὐστηρῶν σου λόγων·

[00092] τύπος αὐτῶν γενοῦ, καὶ ὑπογραμμὸς ἀγαθὸς, ἐν λόγῳ, ἐν ἔργῳ, ἐν ἀναστροφῇ, ἐν πίστει, ἐν ἀγάπῃ, ἐν σεμνότητι, ἵνα τῷ σῷ τύπῳ ἐξακολουθήσωσι, καὶ μιμηταί σου γίνωνται τῆς ἀγαθῆς πολιτείας.

[00093] Καὶ τοῦτο ἂν ποιήσῃς, καὶ ἰδίαν τινὰ προσθήκην λόγων ἢ ἔργων παράσχῃς, εἴ τι ἂν προσδαπανήσῃς, ἐγὼ ἐπανελθὼν ἀποδώσω σοι·

[00094] τουτέστιν, ἐν τῇ δευτέρᾳ μου παρουσίᾳ τῆς ἀνταποδόσεως ἄξιον τῶν καμάτων σου ἀποδώσω σοι τὸν μισθόν.

[00095] Διὰ τοῦτο Παῦλος θαῤῥῶν ταῖς ὑποσχέσεσι ταύταις λέγει·

[00096] Ἐγὼ δὲ ἥδιστα ὑπὲρ Χριστοῦ δαπανήσω, καὶ ἐκδαπανήσομαι ὑπὲρ τῶν ψυχῶν ὑμῶν·

[00097] τὴν εἰς τὰ ἔθνη λέγων διδασκαλίαν καὶ τὴν διακονίαν τοῦ λόγου.

[00098] Αὐτὸς γάρ ἐστιν ὁ τὰς Ἐκκλησίας τοῦ Θεοῦ ἐποικοδομῶν καὶ στηρίζων, καὶ πάντας ἀνθρώπους θεραπεύων διὰ τῶν πνευματικῶν νουθεσιῶν, ἑκάστῳ τὰ πρόσφορα νέμων, ὁδηγεῖ τὰς ψυχὰς ἡμῶν εἰς ζωὴν αἰώνιον.

[00099] Τοῖς πᾶσι γὰρ, φησὶ, γέγονα τὰ πάντα, ἵνα τοὺς πάντας σώσω.

[00100] Οὗτός ἐστιν ὁ καλὸς τῆς Ἐκκλησίας πανδοχεὺς, πάντας δέχεται καὶ πάντας ἐπιμελεῖται·

[00101] οὐ πόρνον ἀπωθεῖται, οὐ μέθυσον, οὐ λοίδορον, οὐχ ἅρπαγα ἀποστρέφεται, οὐκ εἰδωλολάτρην βδελύσσεται, οὐχ ἕτερόν τινα ἀσεβῆ καὶ ἀκάθαρτον ἀποδιώκει, ἀλλὰ τοὺς πάντας δέχεται.

[00102] Καθάπερ ἰατρὸς ἀποπλύνει τὰ τραύματα, καὶ διὰ λουτροῦ τῆς ἀναγεννήσεως ἀποσμήχει καὶ καθαίρει, καὶ προσφέρει τὰ στυπτικὰ ῥήματα, ὥσπερ οἶνον.

[00103] πρὸς τὸ μὴ ἄγεσθαι ταῖς κατὰ ἄγνοιαν πραχθείσαις ἁμαρτίαις ἤτοι κακίαις.

[00104] Καὶ πάλιν θεραπεύει διὰ παρακλήσεως, δίκην ἐλαίου ἀλείφων τὰς ψυχὰς ἡμῶν·

[00105] λέγει γὰρ οὗτος·

[00106] Παρακαλοῦμεν δὲ ὑμᾶς, ἀδελφοὶ, διὰ τῶν οἰκτιρμῶν τοῦ Θεοῦ, παραστῆσαι τὰ σώματα ὑμῶν θυσίαν ζῶσαν, ἁγίαν, εὐάρεστον, τὴν λογικὴν λατρείαν ὑμῶν.

[00107] Ὅσοι τοίνυν τῶν τοῦ Παύλου ῥημάτων μαθηταὶ τυγχάνετε, τὰς ἐντολὰς τοῦ Χριστοῦ φυλάξωμεν·

[00108] ἵνα μὴ τῆς ἐπουρανίου Ἰερουσαλὴμ ἐκπέσωμεν καὶ πόλεως Θεοῦ ζῶντος.

[00109] Γένοιτο δὲ θεραπευθέντας ἡμᾶς καὶ ψυχῆς καὶ σώματος τραύματα, ἐν ὑγείᾳ καὶ τελειότητι πίστεως παραστῆναι τῷ Χριστῷ σώους καὶ ἀνεκλύτους, μὴ λειπομένους ἐν παντὶ ἔργῳ ἀγαθῷ, καὶ ἀπολαῦσαι τῆς ἐν οὐρανοῖς ἀγαθῆς ἐπαγγελίας, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ δόξα, σὺν τῷ παναγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

[00110] Ἀμήν.

[00111] ἀ

---

**© 2006 Cooperatorum Veritatis Societas quoad hanc editionem iura omnia asservantur.**

**0345-0407 - Iohannes Chrysostomus - In parabolam Samaritani**

**Litterarum Omnium Conspectus: 119 Litterae, quae repetitae sunt in 8,711 occasionibus**

---

| | | | | | |
|---|---|---|---|---|---|
| α | 0945 | 689 | Α | 0913 | 2 |
| β | 0946 | 32 | Β | 0914 | 0 |
| γ | 0947 | 137 | Γ | 0915 | 1 |
| δ | 0948 | 190 | Δ | 0916 | 0 |
| ε | 0949 | 402 | Ε | 0917 | 5 |
| ζ | 0950 | 16 | Ζ | 0918 | 0 |
| η | 0951 | 124 | Η | 0919 | 0 |
| θ | 0952 | 124 | Θ | 0920 | 13 |
| ι | 0953 | 333 | Ι | 0921 | 1 |
| κ | 0954 | 245 | Κ | 0922 | 25 |
| λ | 0955 | 230 | Λ | 0923 | 2 |

| | | | | | |
|---|---|---|---|---|---|
| μ | 0956 | 229 | Μ | 0924 | 10 |
| ν | 0957 | 718 | Ν | 0925 | 2 |
| ξ | 0958 | 30 | Ξ | 0926 | 0 |
| ο | 0959 | 593 | Ο | 0927 | 8 |
| π | 0960 | 286 | Π | 0928 | 14 |
| ϱ | 0961 | 322 | Ρ | 0929 | 0 |
| ς | 0962 | 356 | • | 0930 | 0 |
| σ | 0963 | 316 | Σ | 0931 | 10 |
| τ | 0964 | 720 | Τ | 0932 | 9 |
| υ | 0965 | 171 | ϒ | 0933 | 0 |
| ϕ | 0966 | 58 | Φ | 0934 | 0 |
| χ | 0967 | 68 | Χ | 0935 | 11 |
| ψ | 0968 | 7 | Ψ | 0936 | 0 |
| ω | 0969 | 114 | Ω | 0937 | 0 |
| ῤ | 8164 | 3 | | | 0 |
| ῥ | 8165 | 8 | Ῥ | 8172 | |

| | | | | | | | | | | | | | | | | | | | | |
|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|
| ά | 8049 | 94 | έ | 8051 | 101 | ή | 8053 | 40 | ί | 8055 | 154 | ό | 8057 | 68 | ύ | 8059 | 57 | ώ | 8061 | 28 |
| ὰ | 8048 | 95 | ὲ | 8050 | 28 | ὴ | 80852 | 69 | ὶ | 8054 | 140 | ὸ | 8056 | 109 | ὺ | 8058 | 26 | ὼ | 8060 | 25 |
| ᾶ | 8118 | 11 | | | 0 | ῆ | 8134 | 73 | ῖ | 8150 | 37 | | | 0 | ῦ | 8166 | 97 | ῶ | 8182 | 55 |
| ἀ | 7936 | 93 | ἐ | 7952 | 138 | ἠ | 7968 | 2 | ἰ | 7984 | 55 | ὀ | 8000 | 0 | ὐ | 8016 | 82 | ὠ | 8032 | 0 |
| ἁ | 7937 | 16 | ἑ | 7953 | 5 | ἡ | 7969 | 13 | ἱ | 7985 | 4 | ὁ | 8001 | 37 | ὑ | 8017 | 19 | ὡ | 8033 | 6 |
| ἂ | 7938 | 3 | ἒ | 7954 | 0 | ἢ | 7970 | 3 | ἲ | 7986 | 0 | ὂ | 8002 | 0 | ὒ | 8018 | 0 | ὢ | 8034 | 2 |
| ἃ | 7939 | 0 | ἓ | 7955 | 0 | ἣ | 7971 | 0 | ἳ | 7987 | 1 | ὃ | 8003 | 0 | ὓ | 8019 | 0 | ὣ | 8035 | 0 |
| ἄ | 7940 | 24 | ἔ | 7956 | 19 | ἤ | 7972 | 3 | ἴ | 7988 | 9 | ὄ | 8004 | 3 | ὔ | 8020 | 4 | ὤ | 8036 | 1 |
| ἅ | 7941 | 2 | ἕ | 7957 | 1 | ἥ | 7973 | 1 | ἵ | 7989 | 6 | ὅ | 8005 | 10 | ὕ | 8021 | 7 | ὥ | 8037 | 3 |
| ἆ | 7942 | 0 | | | 0 | ἦ | 7974 | 3 | ἶ | 7990 | 13 | | | 0 | ὖ | 8022 | 3 | ὦ | 8038 | 0 |
| ἇ | 7943 | 0 | | | 0 | ἧ | 7975 | 0 | ἷ | 7991 | 0 | | | 0 | ὗ | 8023 | 6 | ὧ | 8039 | 0 |
| ᾀ | 8064 | 0 | | | 0 | ᾐ | 8080 | 0 | | | 0 | | | 0 | ῧ | 8167 | 0 | ᾠ | 8096 | 0 |
| ᾁ | 8065 | 0 | | | 0 | ᾑ | 8081 | 0 | | | 0 | | | 0 | ΰ | 8163 | 0 | ᾡ | 8097 | 0 |
| ᾂ | 8066 | 0 | | | 0 | ᾒ | 8082 | 0 | | | 0 | | | 0 | | | 0 | ᾢ | 8098 | 0 |
| ᾃ | 8067 | 0 | | | 0 | ᾓ | 8083 | 0 | | | 0 | | | 0 | | | 0 | ᾣ | 8099 | 0 |

| | | | | | | | | | | | | | | | | | | | | |
|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|
| ᾄ | 8068 | 0 | | | 0 | ᾔ | 8084 | 0 | | | 0 | | | 0 | | | 0 | ᾤ | 8100 | 0 |
| ᾅ | 8069 | 0 | | | 0 | ᾕ | 8085 | 0 | | | 0 | | | 0 | | | 0 | ᾥ | 8101 | 0 |
| ᾆ | 8070 | 0 | | | 0 | ᾖ | 8086 | 0 | | | 0 | | | 0 | | | 0 | ᾦ | 8102 | 0 |
| ᾇ | 8071 | 0 | | | 0 | ᾗ | 8087 | 0 | | | 0 | | | 0 | | | 0 | ᾧ | 8103 | 1 |
| ᾳ | 8115 | 10 | | | 0 | ῃ | 8131 | 12 | | | 0 | | | 0 | | | 0 | ῳ | 8179 | 24 |
| ᾴ | 8116 | 0 | | | 0 | ῄ | 8132 | 0 | | | 0 | | | 0 | | | 0 | ῴ | 8180 | 0 |
| ᾷ | 8119 | 1 | | | 0 | ῇ | 8135 | 15 | | | 0 | | | 0 | | | 0 | ῷ | 8183 | 29 |

Ceterae infrequentes vel rarissimae Litterae expositae non sunt

---

**© 2006 Cooperatorum Veritatis Societas quoad hanc editionem iura omnia asservantur.**

**0345-0407 - Iohannes Chrysostomus - In parabolam Samaritani**

**Verborum Omnium Conspectus: 791Verba, quae repetita sunt in 3,476,001 occasionibus**

---

ἁ [00111]
Ἀαρὼν [00040]
Ἀαρών [00039]
ἀγαθῆς [00092] [00109]
ἀγαθὸς [00092]
ἀγαθῷ [00109]
ἀγάπη [00092]
ἀγγέλων [00023]
ἄγεσθαι [00103]
ἁγίαν [00106]
ἅγιον [00071]
ἁγιωσύνης [00019]
ἄγνοιαν [00103]
Ἀδὰμ [00009] [00010] [00021] [00027] [00043] [00044] [00047]
ἀδελφοὶ [00003] [00106]
ἀδιόρθωτοι [00091]
ἀδοξίαν [00015]
ἀεὶ [00109]
Αἰγυπτίους [00041]
αἵματι [00071]
αἵματος [00072]
αἰὼν [00037]
αἰῶνας [00109]
αἰώνιον [00098]
αἰώνων [00109]
ἀκάθαρτον [00101]
ἀκανθηφόρον [00015]
ἀκήρατον [00023]
ἄκουε [00077]
ἀκριβῶς [00027]
ἀκροατῶν [00050]
ἀκώλυτον [00010]
ἀλείφων [00104]
ἀλλ [00011] [00033] [00062]
ἄλλ [00062]
Ἀλλ [00050]
ἀλλὰ [00047] [00052] [00053] [00083] [00101]
ἄλλης [00062]
ἄλλοις [00053]
ἁμαρτίᾳ [00017]
ἁμαρτία [00018] [00029]
ἁμαρτίαις [00046] [00103]
ἁμαρτίας [00019] [00025] [00045] [00047] [00048] [00090]
ἁμαρτιῶν [00072] [00090]
ἁμαρτωλοῦ [00034]
ἀμελείᾳ [00057]
Ἀμήν [00110]
ἀμφότερα [00068]
ἂν [00087] [00093] [00093]
ἀνάβασις [00012]
ἀναγεννήσεως [00102]
ἀναιρεῖν [00033]
ἀναλαβὼν [00006]
ἀναλαμβάνει [00049]
ἀναμίξας [00006]
ἀνασπάσαι [00047]
ἀναστροφῇ [00092]
ἀνεδείχθη [00054]
ἀνεκλύτους [00109]
ἀνέστησαν [00043]
ἀνέστησεν [00041]
ἀνηλεῶς [00057]
ἀνήνεγκε [00082]
ἀνήνεγκεν [00083] [00083]
ἀνθρωπίνῳ [00055]
ἄνθρωποι [00037] [00090]
ἄνθρωπον [00026] [00041] [00043] [00054] [00059] [00066] [00070] [00071] [00074] [00076] [00083]
ἄνθρωπος [00054] [00064]
Ἄνθρωπός [00003] [00009]
ἀνθρωπότητος [00070]

ἀνθρώπου [00007] [00087]
ἀνθρώπους [00098]
ἀνθρώπῳ [00068]
ἀνομιῶν [00030]
ἀνταποδόσεως [00094]
ἀντικειμένας [00020]
ἀντιπαρῆλθεν [00038]
ἀντιπαρηλθον [00005]
ἄξιον [00094]
ἀπάτη [00011]
ἀπάτης [00013]
ἀπέπλυνεν [00072]
ἀπηνέχθη [00011]
ἀποδιώκει [00101]
ἀποδώσω [00007] [00087] [00093] [00094]
ἀποθανεῖσθε [00016]
ἀπολαῦσαι [00109]
ἀποξηράνας [00041]
ἀποπλύνει [00102]
ἀποσμήχει [00102]
ἀποστῆναι [00090]
Ἀπόστολος [00014]
Ἀποστόλου [00079]
ἀποστρέφεται [00101]
ἀπωθεῖται [00101]
ἄργυρον [00083]
ἅρπαγα [00101]
ἄρτον [00031]
ἀρχιερεῦσι [00085]
ἀσεβῆ [00101]
ἀσθενοῦσιν [00090]
ἀσπλαγχνίᾳ [00057]
αὐστηρῶν [00091]
αὐτὰς [00027]
αὐτὴν [00043]
αὐτῆς [00041]
αὐτοὶ [00046]
αὐτοῖς [00090]
αὐτὸν [00004] [00005] [00006] [00006] [00006] [00022] [00024] [00035] [00038] [00041] [00045] [00045] [00048] [00052] [00081]
αὐτόν [00021]
Αὐτὸς [00098]
αὐτοῦ [00006] [00037] [00040] [00040] [00048] [00071] [00073]
αὐτοὺς [00090] [00090] [00090] [00091] [00091]
αὐτῷ [00006] [00020] [00025] [00045] [00084]
αὐτῶν [00092]
ἀφροσύνης [00028]

βαδίσαντες [00043]
βαλὼν [00006]
βδελύσσεται [00101]
βίον [00036]
βίος [00021]
βίου [00041] [00043]
βούλομαι [00034]
βουλόμενοι [00033]
βροχὴν [00068]

γὰρ [00012] [00016] [00018] [00026] [00034] [00037] [00040] [00043] [00046] [00053] [00072] [00083] [00099] [00105]
γάρ [00014] [00098]
γέγονα [00099]
γέγονε [00064]
Γένοιτο [00109]
γενόμενοι [00043]
γενόμενος [00041]
γενοῦ [00092]
γῆν [00011] [00015] [00072]
γῆς [00011] [00063] [00066] [00083]
γίνωνται [00092]
γλυκάνας [00041]
γνησίῳ [00084]
γνωρίσωμεν [00008]

δ [00087]
δαπανήσω [00096]
Δαυῒδ [00027] [00040]
δὲ [00005] [00009] [00009] [00011] [00012] [00014] [00029] [00033] [00038] [00039] [00042] [00053] [00054] [00058] [00077] [00079] [00081] [00085] [00088] [00091] [00096] [00106] [00109]
δέ [00006] [00021] [00048] [00073]
δεκαπλήγῳ [00041]
Δεσπότης [00065]
δευτέρᾳ [00094]
δέχεται [00100] [00101]
δηνάρια [00006] [00084] [00086]
δι [00037] [00041] [00064]
Διὰ [00095]
διὰ [00005] [00030] [00030] [00041] [00044] [00044] [00047] [00047] [00059] [00085] [00090] [00091] [00098] [00102] [00104] [00106]
διάβολον [00020] [00074]
διαβόλου [00013] [00090]
διαγαγὼν [00041]
Διαθήκην [00086]
Διαθήκης [00090]
διακονίαν [00097]
διάνοιαν [00079]
διατριβὴν [00010] [00023]
διδάγματα [00090]
διδασκαλίαν [00079] [00097]
διδασκάλοις [00085]
διερχόμενοι [00005]
διέρχονται [00037]
διεσκορπισμένην [00079]
δικαιοσύνης [00019]
δίκην [00104]
δόξα [00109]
δόξαν [00023]
δόξῃ [00056]
δόξης [00015]
δούλου [00065]
δοὺς [00084]
δυνάμει [00054]
δυνάμεις [00020] [00076]
δύο [00006] [00084] [00086]

**δυσωδίαν** [00026]

**Ἐὰν** [00091]
**ἑαυτὸν** [00027]
**ἐγένοντο** [00047]
**ἐγὼ** [00007] [00087] [00093]
**Ἐγὼ** [00096]
**ἔδησε** [00074] [00075]
**ἐδούλωσε** [00076]
**ἔδωκε** [00006]
**ἐζωοποίησε** [00071] [00075]
**ἐθεράπευσαν** [00044]
**Ἔθηκε** [00081]
**ἔθνη** [00097]
**ἔθνους** [00062]
**ἐθνῶν** [00089]
**Εἰ** [00047] [00077]
**εἴ** [00007] [00087] [00093]
**εἶδε** [00066] [00067]
**εἰδωλολατρείαις** [00066]
**εἰδωλολατρείας** [00025]
**εἰδωλολάτρην** [00101]
**εἰκόνα** [00049] [00083]
**εἰκονογραφῶν** [00027]
**εἶναι** [00047]
**εἰπών** [00006] [00086]
**εἰργάζετο** [00011]
**εἰρημένον** [00079]
**Εἰς** [00002] [00036]
**εἰς** [00002] [00003] [00006] [00011] [00011] [00013] [00015] [00015] [00015] [00019] [00019] [00019] [00020] [00020] [00021] [00027] [00036] [00082] [00083] [00083] [00083] [00097] [00098] [00109]
**εἴσοδον** [00010]
**εἶχε** [00010] [00010]
**ἐκ** [00016] [00045] [00054]
**ἑκάστην** [00085]
**ἑκάστῳ** [00098]
**ἐκδαπανήσομαι** [00096]
**ἐκδιδύσκουσιν** [00021]
**ἐκδύσαντες** [00004]
**ἐκείνης** [00005]
**ἐκεῖνοι** [00043]
**Ἐκεῖνοι** [00057]
**Ἐκκλησίᾳ** [00089]
**Ἐκκλησίαν** [00083] [00085]
**Ἐκκλησίας** [00098] [00100]
**ἐκπεσόντα** [00059]
**ἐκπέσωμεν** [00108]
**ἔλαιον** [00048] [00079]
**ἐλαίου** [00104]
**ἐλαίῳ** [00006] [00067] [00069] [00071] [00078]
**Ἔλεγξον** [00080]
**ἐλεήμων** [00058] [00059] [00060]
**ἐλθὼν** [00006] [00048] [00087]
**ἔλυσε** [00074]
**ἐλυτρώσατο** [00045]
**ἐμπεσόντος** [00002]
**ἐμπίπτει** [00020]
**ἐμπλάστρου** [00090]
**ἐμποιοῦσι** [00026]
**ἐν** [00003] [00007] [00010] [00010] [00014] [00014] [00019] [00019] [00023] [00038] [00040] [00040] [00041] [00046] [00066] [00089] [00092] [00092] [00092] [00092] [00092] [00092] [00094] [00109] [00109] [00109]
**Ἐν** [00016]
**ἔνδοξος** [00041]
**ἐνεδύσατο** [00065]
**ἐνικᾶτο** [00010]
**ἐντολαῖς** [00010]
**ἐντολὰς** [00014] [00107]
**ἐντολὴν** [00011] [00032]
**ἐξ** [00062] [00062] [00066] [00089]
**ἐξακολουθήσωσι** [00092]
**ἐξέδυσαν** [00022] [00024]
**ἐξηράνθη** [00031]
**ἐπ** [00006]
**ἐπαγγελίας** [00109]
**ἐπάγει** [00079]
**ἐπανελθὼν** [00093]
**ἐπανέρχεσθαί** [00007]
**ἐπέβαλεν** [00067]
**ἐπέθηκαν** [00025]
**ἐπέθηκε** [00068]
**ἐπέθηκεν** [00048]
**ἐπειδὴ** [00037]
**Ἐπειδὴ** [00090]
**ἐπελαθόμην** [00031]
**ἔπεσεν** [00021]
**ἐπέχεεν** [00006]
**ἐπὶ** [00006] [00006] [00013] [00048] [00063] [00066] [00067] [00072] [00081] [00082]
**ἐπιθέντες** [00004]
**ἐπικαλουμένοις** [00040]
**ἐπιμελεῖται** [00100]
**Ἐπιμελήθητι** [00007] [00087]
**Ἐπιμέλησαι** [00089]
**ἐπιτιθεὶς** [00090]
**ἐπιτίμησον** [00080]
**ἐπλήγη** [00030]
**Ἐπλήγην** [00031]
**ἐποίησε** [00068]
**ἐποικοδομῶν** [00098]
**ἐπουράνιον** [00010] [00023]
**ἐπουράνιος** [00009]
**ἐπουρανίου** [00013] [00108]
**ἐπουρανίῳ** [00010]
**ἔργα** [00026]
**ἐργάζεται** [00029]
**ἐργασάμενος** [00041]
**ἐργασίαν** [00025]
**ἔργοις** [00048]
**ἔργῳ** [00092] [00109]
**ἔργων** [00093]
**ἐρεῖ** [00050]
**ἔρεις** [00025]
**ἑρμηνεύεται** [00012]
**ἐῤῥιμμένον** [00066]
**Ἐρυθρὰν** [00041]
**ἐσάπησαν** [00028]
**ἐσκυλμένον** [00066]

**ἐσπλαγχνίσθη** [00006] [00048] [00067]
**Ἐσπλαγχνίσθη** [00066]
**ἔστειλε** [00045]
**ἐστι** [00069] [00073]
**ἔστι** [00027]
**ἐστιν** [00009] [00021] [00088] [00098] [00100]
**ἔσωσε** [00070]
**ἐτάσας** [00041]
**ἕτερόν** [00101]
**ἑτέρως** [00077]
**ἐτραυματίζετο** [00010]
**Ἐτραυματίσθη** [00030]
**εὐαγγελικὰ** [00090]
**Εὐαγγελίῳ** [00003]
**εὐάρεστον** [00106]
**εὑρόντες** [00043]
**εὐρύχωρον** [00083]
**εὐσεβέστερος** [00058]
**εὐσπλαγχνίαν** [00070]
**εὐσπλαγχνίας** [00052] [00053]
**εὔσπλαγχνος** [00048] [00061]
**εὐσπλαγχνότερος** [00058]
**Ἐφ** [00010]
**ἐφάνη** [00053] [00054] [00058] [00059]
**ἐφύλαξεν** [00011]
**ἐχαρίσατο** [00045]

**ζωὴν** [00045] [00098]
**ζωήν** [00023]
**ζωῆς** [00015]
**ζῶντος** [00108]
**ζῶσαν** [00106]

**ἡ** [00009] [00009] [00031]
**ἢ** [00083] [00083] [00093]
**ἤγαγεν** [00006]
**ἤγειρεν** [00045]
**ἥδιστα** [00096]
**ἠδύναντο** [00047]
**Ἠκούσαμεν** [00003]
**ἠλευθέρωσε** [00076]
**ἦλθεν** [00019]
**Ἦλθεν** [00063]
**ἡμᾶς** [00064] [00109]
**ἡμιθανῆ** [00004]
**Ἡμιθανῆ** [00033]
**ἡμῶν** [00003] [00049] [00066] [00072] [00098] [00104] [00109]
**Ἡμῶν** [00014]
**ἦν** [00062] [00062]
**ἤτοι** [00103]

**θάλασσαν** [00041]
**θάνατον** [00015] [00019] [00034]
**θάνατος** [00018]
**θανάτου** [00045]
**θανάτῳ** [00016]
**θαῤῥῶν** [00095]
**θαυμαστὸν** [00083]
**θαυμαστὸς** [00041]
**θαύματα** [00041]
**θέλεις** [00077]
**Θεὸς** [00064]
**θεότητα** [00070]
**θεότητος** [00052] [00054] [00082]
**Θεοῦ** [00008] [00010] [00011] [00014] [00032] [00033] [00047] [00098] [00106] [00108]
**θεραπεύει** [00104]
**θεραπευθέντας** [00109]
**θεράπευσον** [00090]
**θεραπεύων** [00098]
**Θεῷ** [00018] [00041]
**θεωρίᾳ** [00054]
**θυμὸν** [00025]
**θυσίαν** [00106]

**ἰατρὸς** [00102]
**ἰδίαν** [00093]
**ἴδιον** [00006] [00067] [00081]
**ἰδίους** [00082]
**ἰδόντες** [00005]
**Ἴδωμεν** [00008]
**ἰδὼν** [00006] [00038] [00041] [00048]
**Ἱερέα** [00039]
**ἱερεὺς** [00038]
**Ἱερεὺς** [00005]
**ἱερεῦσιν** [00040]
**Ἱεριχὼ** [00003] [00009] [00011] [00012] [00013] [00019]
**Ἱερουσαλὴμ** [00003] [00009] [00010] [00012] [00013] [00108]
**Ἰησοῦ** [00003] [00109]
**Ἰησοῦς** [00049]
**ἵνα** [00008] [00092] [00099] [00108]
**Ἰουδαίων** [00062]
**ἰσάγγελον** [00010]
**ἴσος** [00055] [00056]
**In** [00001]

**καθ** [00085]
**καθά** [00014]
**καθαίρει** [00102]
**Καθάπερ** [00102]
**καθολικὴν** [00083]
**Καινὴν** [00086]
**κακίαις** [00103]
**κακῶν** [00025]
**καλὸς** [00100]
**καλῶς** [00027]
**καμάτων** [00094]
**κάμψον** [00091]

**καρδίᾳ** [00008]
**καρδία** [00031]
**κατ** [00083]
**καταδευόμενος** [00079]
**κατακλυσμός** [00012]
**Καταλαβὼν** [00038]
**καταλείπουσιν** [00035]
**καταλεῖψαι** [00090]
**κατέβαινεν** [00003]
**Κατέβη** [00013] [00015] [00019]
**κατέβη** [00011]
**Κατέδησε** [00073]
**κατέδησε** [00006] [00048] [00076]
**κατείχοντο** [00046]
**κατέλιπον** [00004] [00033]
**κατῆλθεν** [00066]
**κατοικίαν** [00010]
**κατορθωμάτων** [00091]
**κείμενον** [00041]
**κλάδοι** [00047]
**κόσμος** [00009]
**κόσμου** [00062]
**κρείττων** [00053]
**κτῆνος** [00006] [00081]
**Κύριε** [00061]
**Κύριον** [00051]
**Κύριος** [00049] [00054] [00060]
**Κυρίου** [00003] [00072] [00109]

**λαβὼν** [00082]
**λαὸν** [00041]
**λαοῦ** [00089]
**λατρείαν** [00106]
**λέγει** [00039] [00088] [00095] [00105]
**λέγεις** [00051]
**λέγεται** [00037]
**λέγοντα** [00059]
**λέγοντος** [00003]
**λέγω** [00052]
**λέγων** [00027] [00040] [00097]
**λειπομένους** [00109]
**λειτουργοῖς** [00085]
**Λευΐτης** [00005] [00042]
**λῃσταῖς** [00003]
**λῃστὰς** [00020] [00021]
**λῃστάς** [00002]
**λίθον** [00090]
**λίθους** [00083]
**λογικὴν** [00106]
**λόγον** [00079]
**λόγου** [00097]
**λόγῳ** [00092]
**λόγων** [00091] [00093]
**λοίδορον** [00101]
**λοιπὴν** [00025]
**λουτροῦ** [00102]

**μάθε** [00027]
**μαθηταὶ** [00107]
**μακάριον** [00039]
**μακαρίῳ** [00084]
**μακρόθυμος** [00060]
**Μαρίας** [00054]
**Μαῤῥᾷ** [00041]
**Μαρτυρεῖ** [00040]
**μάστιγι** [00041]
**μαστιγοῦσι** [00026]
**με** [00007]
**μέγα** [00083]
**μεθ** [00109]
**μέθυσον** [00101]
**μείζων** [00054]
**μείνωσι** [00091]
**μὲν** [00053] [00054]
**μετ** [00023]
**μετάνοιαν** [00034]
**μιμήσει** [00052]
**μιμηταί** [00092]
**Μίξας** [00071] [00078]
**μίξας** [00068] [00069] [00070] [00070] [00071]
**μισθόν** [00094]
**μοιχείαις** [00066]
**μοιχείας** [00025]
**μόνος** [00059]
**μορφὴν** [00065]
**μου** [00028] [00028] [00031] [00031] [00094]
**μυστήρια** [00008]
**μώλωπα** [00029]
**μώλωπας** [00027]
**μώλωπές** [00028]
**Μωϋσῆν** [00039] [00043]
**Μωϋσῆς** [00040] [00041] [00044]

**Ναὶ** [00052]
**ναυαγῆσαν** [00075]
**Νέας** [00090]
**νεκρᾶς** [00047]
**νέμων** [00098]
**νέφους** [00041]
**νοεῖν** [00077]
**νόμου** [00044]
**νουθεσιῶν** [00090] [00098]
**νῦν** [00109]

**ξύλου** [00016]

**ὁ** [00009] [00009] [00010] [00014] [00021] [00021] [00030] [00037] [00038] [00040] [00041] [00041] [00041] [00041] [00041] [00041] [00049] [00053] [00054] [00058] [00059] [00060] [00062] [00062] [00082] [00098] [00100]
**Ὁ** [00088]
**ὁδεύων** [00041]
**ὁδηγεῖ** [00098]
**ὁδὸν** [00036] [00041] [00043]
**ὁδὸς** [00037]
**Ὁδὸς** [00021]
**ὁδοῦ** [00005]
**ὁδῷ** [00038]
**οἱ** [00028] [00090]
**οἷ** [00004]
**Οἰκτίρμων** [00060]
**οἰκτίρμων** [00059]
**οἰκτιρμῶν** [00106]
**οἶνον** [00006] [00048] [00067] [00069] [00071] [00078] [00079] [00102]
**ὁμοδούλους** [00048]
**ὅμοιος** [00053] [00053] [00054]
**Ὁμοίως** [00042]
**ὁμοσάρκους** [00047]
**ὅν** [00089]
**ὄνομα** [00040]
**ὄντες** [00047]
**ὅπου** [00021]
**Ὅσοι** [00107]
**ὅσον** [00010]
**ὅτε** [00011]
**Ὅτε** [00014]
**ὅτι** [00003] [00027] [00031]
**Ὅτι** [00061]
**Οὐ** [00034] [00083]
**οὐ** [00052] [00101] [00101] [00101]
**οὗ** [00109]
**οὐδὲ** [00010]
**Οὐδεὶς** [00045]
**οὐδεὶς** [00045] [00045] [00045]
**οὐδενὸς** [00010]
**οὐκ** [00011] [00041] [00043] [00047] [00056] [00062] [00062] [00101]
**οὖν** [00008] [00013] [00041]
**οὐρανοῖς** [00014] [00014] [00019] [00109]
**οὐρανοῦ** [00062] [00066]
**οὐρανοὺς** [00083]
**οὐρανούς** [00082]
**Οὔτε** [00044]
**οὔτε** [00044]
**Οὐτός** [00100]
**Οὗτος** [00041]
**οὗτος** [00021] [00037] [00105]
**Οὕτω** [00059]
**οὕτω** [00054] [00062]
**οὕτως** [00013] [00091]
**οὐχ** [00033] [00053] [00101] [00101]
**ὄφεως** [00011]

**Παλαιάν** [00086]
**Παλαιᾶς** [00090]
**πάλιν** [00061] [00104]
**παναγίῳ** [00109]
**πανδοχεῖ** [00006] [00084] [00084]
**πανδοχεῖον** [00006] [00083]
**πανδοχεὺς** [00100]
**πάντα** [00099]
**πάντας** [00098] [00099] [00100] [00100] [00101]
**πάντες** [00037]
**παντὶ** [00109]
**πάντων** [00054]
**παρὰ** [00027]
**παραβολὴν** [00002] [00008]
**παραδείσου** [00015]
**παραδείσῳ** [00019] [00023]
**παρακάλεσον** [00080]
**Παρακαλοῦμεν** [00106]
**παρακλήσεων** [00090]
**παρακλήσεως** [00104]
**παρακλητικὸν** [00079]
**παρακοῆς** [00010] [00019] [00030] [00059]
**παρακοῦσαι** [00018]
**παραστῆναι** [00109]
**παραστῆσαι** [00106]
**παράσχης** [00093]
**παρέδωκα** [00089]
**παρέδωκε** [00084]
**παρήκουσε** [00011]
**παρῆλθεν** [00041]
**παρῆλθον** [00057]
**παρουσίᾳ** [00094]
**Πᾶσα** [00029]
**πᾶσαν** [00025]
**πᾶσι** [00099]
**Πατρὶ** [00082] [00109]
**πατριάρχαις** [00054]
**πατριαρχῶν** [00059]
**Παῦλος** [00095]
**Παύλου** [00085] [00107]
**Παύλῳ** [00084]
**πείθων** [00090]
**πεῖσον** [00091]
**περὶ** [00048] [00066]
**περιέπεσεν** [00003]
**περιπατήσας** [00021]
**πίστει** [00092]
**πίστεως** [00109]
**πλάνην** [00090]
**πλάσμα** [00067]
**πλευρᾶς** [00072]
**πληγὰς** [00004] [00025] [00027]
**πλοῖον** [00075]
**Πνεῦμα** [00071]
**Πνεύματι** [00109]
**πνευματικῶν** [00098]
**ποιήσης** [00093]
**ποιούμενος** [00010]
**πόλει** [00010]
**πόλεως** [00108]
**πολιτεία** [00009]

**πολιτείαν** [00010] [00047]
**πολιτείας** [00092]
**πολιτεύεται** [00014]
**πολίτευμα** [00013] [00014]
**πολιτεύματος** [00013]
**πολλὰ** [00041]
**πολυέλεος** [00060]
**πονηροῦ** [00076]
**πορνείαις** [00066]
**πορνείας** [00025]
**πόρνον** [00101]
**ποῦ** [00035]
**πραχθείσαις** [00103]
**πρὸ** [00010]
**προαιρέσει** [00053]
**προαίρεσιν** [00048]
**πρὸς** [00103]
**προσδαπανήσῃς** [00007] [00087] [00093]
**προσθήκην** [00093]
**προσομιλήσας** [00041]
**προσφέρει** [00102]
**πρόσφορα** [00098]
**Προσώζεσαν** [00028]
**Πρόσωπον** [00049]
**προσώπου** [00028]
**προφῆται** [00044]
**προφήταις** [00054]
**προφήτην** [00059]
**προφήτης** [00030]
**προφητικὰ** [00090]
**προφητικὸν** [00042]
**προφητῶν** [00059]
**πτῶμα** [00019]
**πῶς** [00027]

**ῥήματα** [00090] [00102]
**ῥημάτων** [00107]
**ῥίζαν** [00047]
**ῥίζης** [00047]

**Σαμαρείτην** [00051] [00052]
**Σαμαρείτης** [00006] [00048] [00053] [00058] [00062]
**Σαμαρείτου** [00049]
**Σαμουὴλ** [00040]
**σάρκα** [00082]
**σεμνὴν** [00047]
**σεμνότητι** [00092]
**σημείων** [00044]
**σκάφος** [00075]
**σοι** [00007] [00087] [00089] [00093] [00094]
**σου** [00091] [00092] [00094]
**σπουδαῖος** [00048]
**στάξαντος** [00072]
**στηρίζων** [00098]
**στολὴν** [00023]
**στολήν** [00024]
**στύλῳ** [00084]
**στυπτικὰ** [00102]
**στυπτικὸν** [00079]
**σὺ** [00061]
**συγχωροῦντος** [00033]
**συμπαθὴς** [00048]
**σὺν** [00006] [00067] [00069] [00071] [00078] [00109]
**συνάγουσαν** [00079]
**συνετῇ** [00008]
**συνιέντες** [00008]
**σχήματι** [00055]
**σχίσας** [00041]
**σῷ** [00092]
**σώματα** [00106]
**σώματος** [00053] [00054] [00109]
**σῶν** [00091]
**σώους** [00109]
**σώσω** [00099]
**σωτηρίας** [00070]
**Σamaritanià** [00001]

**τὰ** [00006] [00008] [00011] [00026] [00048] [00073] [00090] [00090] [00097] [00098] [00099] [00102] [00102] [00106]
**τάγμα** [00042]
**ταῖς** [00010] [00095] [00103]
**τὰς** [00014] [00020] [00025] [00027] [00048] [00076] [00098] [00098] [00104] [00107]
**Ταῦτα** [00026]
**ταῦτα** [00026]
**ταύταις** [00095]
**Ταύτην** [00024]
**ταύτην** [00083]
**τε** [00086]
**τελειότητι** [00109]
**τετραυματισμένοι** [00090]
**τετραυματισμένον** [00041] [00043] [00048] [00057] [00066]
**τῇ** [00010] [00011] [00017] [00038] [00052] [00052] [00053] [00053] [00054] [00054] [00056] [00089] [00094]
**Τὴν** [00023]
**τὴν** [00002] [00008] [00010] [00010] [00010] [00011] [00011] [00023] [00023] [00023] [00023] [00023] [00024] [00025] [00032] [00034] [00036] [00041] [00041] [00043] [00047] [00048] [00065] [00070] [00070] [00072] [00079] [00079] [00079] [00082] [00083] [00090] [00097] [00097] [00106]
**τῆς** [00005] [00010] [00011] [00013] [00019] [00019] [00019] [00019] [00023] [00028] [00030] [00045] [00047] [00047] [00047] [00052] [00052] [00053] [00054] [00063] [00066] [00070] [00070] [00072] [00082] [00090] [00090] [00092] [00094] [00100] [00102] [00108] [00109]
**Τί** [00069] [00073]
**τί** [00022] [00050]
**τι** [00007] [00087] [00093]
**τιμίους** [00083]
**τινὰ** [00093]
**τινα** [00101]
**τις** [00003] [00006] [00014] [00048] [00050]
**τὸ** [00006] [00010] [00013] [00014] [00018] [00019] [00040] [00041] [00042] [00044] [00045] [00047] [00067] [00072] [00075] [00075] [00079] [00081] [00083] [00103]
**τοίνυν** [00010] [00030] [00107]
**Τοῖς** [00099]
**τοῖς** [00040] [00040] [00048] [00053] [00085]
**τὸν** [00006] [00019] [00020] [00026] [00031] [00034] [00036] [00039] [00041] [00041] [00043] [00043] [00048] [00051] [00054] [00057] [00059] [00059] [00059] [00066] [00070] [00071] [00074] [00074] [00076] [00079] [00079] [00083] [00094]
**τόπον** [00006] [00048]

**τότε** [00011] [00014]
**Τοῦ** [00072]
**τοῦ** [00002] [00003] [00007] [00008] [00010] [00011] [00011] [00013] [00013] [00014] [00016] [00027] [00027] [00031] [00032] [00032] [00033] [00034] [00041] [00043] [00044] [00053] [00054] [00062] [00065] [00072] [00076] [00079] [00087] [00089] [00089] [00090] [00097] [00098] [00106] [00107] [00107] [00109]
**τοὺς** [00002] [00020] [00021] [00041] [00048] [00082] [00099] [00101] [00109]
**Τουτέστι** [00070]
**τουτέστι** [00017] [00025] [00032] [00042] [00048] [00068] [00071] [00082]
**Τουτέστιν** [00074]
**τουτέστιν** [00011] [00019] [00020] [00036] [00094]
**τοῦτό** [00088]
**τοῦτο** [00027] [00093] [00095]
**τοῦτον** [00033] [00033] [00036]
**τούτου** [00007] [00041] [00048] [00087]
**τούτων** [00008]
**τραῦμα** [00029] [00044] [00045]
**τραύματα** [00006] [00048] [00073] [00102] [00109]
**τρυφὴν** [00023]
**τρυφῆς** [00015]
**τυγχάνετε** [00107]
**τυγχάνοντα** [00004]
**τύπος** [00092]
**τύπῳ** [00092]
**τῷ** [00003] [00006] [00007] [00019] [00041] [00047] [00055] [00068] [00071] [00082] [00084] [00084] [00084] [00084] [00092] [00109] [00109] [00109]
**τῶν** [00025] [00030] [00050] [00062] [00072] [00084] [00090] [00090] [00091] [00091] [00094] [00096] [00098] [00106] [00107] [00109]

**ὑγείᾳ** [00109]
**ὑγιαίνων** [00090]
**ὕδωρ** [00041]
**ὑμᾶς** [00106]
**ὑμῶν** [00096] [00106] [00106]
**ὑπ** [00010]
**ὑπακοῆς** [00023]
**ὑπάρχει** [00014]
**ὑπὲρ** [00096] [00096]
**ὑπεριδόντων** [00059]
**ὑπερκοσμίῳ** [00056]
**ὑπῆρχε** [00053]
**ὑπὸ** [00079] [00090]
**ὑπογραμμὸς** [00092]
**ὑποσχέσεσι** [00095]
**ὕστερον** [00043]

**φαγεῖν** [00031]
**φάγεσθε** [00016]
**φαρμακείας** [00025]
**φέρεσθαι** [00047]
**φησὶ** [00016] [00033] [00034] [00048] [00089] [00099]
**φησὶν** [00038]
**φησιν** [00014] [00030]
**φθόνους** [00025]
**φθορὰν** [00026]
**φιλανθρωπίᾳ** [00109]
**φιλίαν** [00023]
**φίλοι** [00047]
**φόνοις** [00066]
**φόνους** [00025]
**φρόνημα** [00010]
**φρόνησις** [00009]
**φυλάξαι** [00032]
**φυλάξωμεν** [00107]
**φυλάσσει** [00014]
**φύσει** [00052] [00053]

**χάριτι** [00109]
**χειρόγραφον** [00072]
**χόρτος** [00031]
**χρησάμενοι** [00057]
**Χριστιανῶν** [00084]
**Χριστὸς** [00049] [00059] [00062] [00082]
**Χριστοῦ** [00003] [00023] [00096] [00107] [00109]
**Χριστῷ** [00109]
**χρυσὸν** [00083]
**χώρας** [00062]

**ψυχὰς** [00098] [00104]
**ψυχῆς** [00018] [00109]
**ψυχῶν** [00096]

**ᾧ** [00016]
**ὤμους** [00082]
**ὢν** [00064] [00065]
**ὡρμᾶτο** [00062]
**ὡς** [00013] [00033] [00033] [00034]
**ὥς** [00030]
**ὡσεὶ** [00031]
**ὥσπερ** [00062] [00102]
**Ὥσπερ** [00053]